λγ΄ Τὰ ὅμοια στερεὰ παραλληλεπίπεδα πρὸς ἄλληλα ἐν τρι-
πλασίονι λόγῳ ἐστὶ τῶν ὁμολόγων πλευρῶν· ἔστω ὅμοι-
α στερεὰ παραλληλεπίπεδα τὰ ΑΒ ΓΔ· ὁμόλογος δὲ
ἔστω ἡ ΑΕ τῇ ΓΖ· λέγω ὅτι τὸ ΑΒ στερεὸν πρὸς τὸ ΓΔ στε-
ρεὸν τριπλασίονα λόγον ἔχει ἤπερ ἡ ΑΕ πρὸς τὴν ΓΖ·
ἐκβεβλήσθωσαν γὰρ ἐπ' εὐθείας ταῖς ΑΕ ΗΕ ΘΕ αἱ ΕΚ ΕΛ
ΕΜ· καὶ κείσθω τῇ μὲν ΓΖ ἴση ἡ ΕΚ· τῇ δὲ ΖΝ ἴση ἡ
ΕΛ· καὶ ἔτι τῇ ΖΡ ἴση ἡ ΕΜ· καὶ συμπεπληρώσθω τὸ ΚΛ
παραλληλόγραμμον καὶ τὸ ΚΟ στερεόν· καὶ ἐπεὶ δύο αἱ
ΚΕ ΕΛ δυσὶ ταῖς ΓΖ ΖΝ ἴσαι εἰσίν· ἀλλὰ καὶ γωνία ἡ
κατὰ κορυφήν ὑπὸ ΚΕΛ γωνίᾳ τῇ ὑπὸ ΓΖΝ ἐστὶν ἴση· ἐπειδήπερ
ια΄ τοῦ ια΄ καὶ ἡ ὑπὸ ΑΕΗ τῇ ὑπὸ ΓΖΝ ἐστὶν ἴση διὰ τὴν ὁμοιότη-
τα τῶν ΑΒ ΓΔ στερεῶν· ἴσον ἄρα ἐστὶ καὶ ὅμοιον τὸ ΚΛ
παραλληλόγραμμον τῷ ΓΝ παραλληλογράμμῳ·
διὰ τὰ αὐτὰ δὴ καὶ τὸ μὲν ΚΜ παραλληλόγραμμον ἴ-
σον ἐστὶ καὶ ὅμοιον τῷ ΓΡ παραλληλογράμμῳ· καὶ ἔτι τὸ
ΕΟ τῷ ΖΔ· τρία ἄρα παραλληλόγραμμα τοῦ ΚΟ
στερεοῦ τρισὶ παραλληλογράμμοις τοῦ ΓΔ στερεοῦ
ἴσα ἐστὶ καὶ ὅμοια· ἀλλὰ τὰ μὲν τρία τρισὶ τοῖς ἀπεναντίον
ἴσα ἐστὶ καὶ ὅμοια· τὰ δὲ τρία τρισὶ τοῖς ἀπεναντίον
ἴσα ἐστὶ καὶ ὅμοια· ὅλον ἄρα τὸ ΚΟ στερεὸν ὅλῳ τῷ ΓΔ
στερεῷ ἴσον ἐστὶ καὶ ὅμοιον· συμπεπληρώσθω τὸ ΗΚ
παραλληλόγραμμον· καὶ ἀπὸ βάσεων μὲν τῶν ΗΚ ΚΛ
παραλληλογράμμων· ὕψους δὲ τοῦ αὐτοῦ τῷ ΑΒ στε-
ρεὰ συμπεπληρώσθω τὰ ΕΞ ΛΠ· καὶ ἐπεὶ διὰ τὴν
ὁμοιότητα τῶν ΑΒ ΓΔ στερεῶν ἐστιν ὡς ἡ ΑΕ πρὸς τὴν
ΓΖ οὕτως ἡ ΕΗ πρὸς τὴν ΖΝ· καὶ ἡ ΕΘ πρὸς τὴν ΖΡ·

ἴση δὲ ἡ μὲν ΓΖ τῇ ΕΚ· ἡ δὲ ΖΝ τῇ ΕΛ· ἡ δὲ ΖΡ τῇ ΕΜ· ἔστιν
ἄρα ὡς ἡ ΑΕ πρὸς τὴν ΕΚ· οὕτως ἡ ΗΕ πρὸς τὴν ΕΛ· καὶ
ἡ ΘΕ πρὸς τὴν ΕΜ· ἀλλ' ὡς μὲν ἡ ΑΕ πρὸς τὴν ΕΚ· οὕ-
τως τὸ ΑΗ παραλληλόγραμμον πρὸς τὸ ΗΚ παραλλη-
λόγραμμον· ὡς δὲ ἡ ΗΕ πρὸς τὴν ΕΛ· οὕτως τὸ ΗΚ πρὸς — α΄ τοῦ ϛ΄
τὸ ΚΛ· ὡς δὲ ἡ ΘΕ πρὸς τὴν ΕΜ· οὕτως τὸ ΠΕ πρὸς — α΄ τοῦ ϛ΄
τὸ ΚΜ· καὶ ὡς ἄρα τὸ ΑΗ παραλληλόγραμμον πρὸς τὸ ΗΚ· — α΄ τοῦ ϛ΄
οὕτως τὸ ΗΚ πρὸς τὸ ΚΛ· καὶ τὸ ΠΕ πρὸς τὸ ΚΜ· ἀλλ' ὡς
μὲν τὸ ΑΗ πρὸς τὸ ΗΚ· οὕτως τὸ ΑΒ στερεὸν πρὸς τὸ ΕΞ — λβ΄ τοῦ ια΄ ἢ κε΄ τοῦ ια΄
στερεόν· ὡς δὲ τὸ ΗΚ πρὸς τὸ ΚΛ· οὕτως τὸ ΞΕ στερε-
ὸν πρὸς τὸ ΠΛ στερεόν· ὡς δὲ τὸ ΠΕ πρὸς τὸ ΚΜ· οὕτως — λβ΄ τοῦ ια΄
τὸ ΠΛ στερεὸν πρὸς τὸ ΚΟ στερεόν· καὶ ὡς ἄρα τὸ ΑΒ στε-
ρεὸν πρὸς τὸ ΕΞ· οὕτως τὸ ΕΞ πρὸς τὸ ΠΛ καὶ τὸ ΠΛ πρὸς
τὸ ΚΟ· ἐὰν δὲ τέσσαρα μεγέθη κατὰ τὸ συνεχὲς ἀνά- — ι΄ ὅρος τοῦ ε΄
λογον ᾖ· τὸ πρῶτον πρὸς τὸ τέταρτον τριπλασίονα
λόγον ἔχει ἤπερ πρὸς τὸ δεύτερον· τὸ ΑΒ ἄρα στερε-
ὸν πρὸς τὸ ΚΟ τριπλασίονα λόγον ἔχει ἤπερ τὸ ΑΒ
πρὸς τὸ ΕΞ· ἀλλ' ὡς τὸ ΑΒ πρὸς τὸ ΕΞ· οὕτως τὸ ΑΗ πα-
ραλληλόγραμμον πρὸς τὸ ΗΚ· καὶ ἡ ΑΕ εὐθεῖα πρὸς τὴν
ΕΚ· ὥστε καὶ τὸ ΑΒ στερεὸν πρὸς τὸ ΚΟ τριπλασίο-
να λόγον ἔχει ἤπερ ἡ ΑΕ πρὸς τὴν ΕΚ· ἴσον δὲ τὸ
μὲν ΚΟ στερεὸν τῷ ΓΔ στερεῷ· ἡ δὲ ΕΚ εὐθεῖα
τῇ ΓΖ· καὶ τὸ ΑΒ στερεὸν ἄρα πρὸς τὸ ΓΔ στερεὸν τρι-
πλασίονα λόγον ἔχει ἤπερ ἡ ὁμόλογος αὐτοῦ πλευ-
ρὰ ἡ ΑΕ πρὸς τὴν ὁμόλογον πλευρὰν τὴν ΓΖ· τὰ
ἄρα ὅμοια στερεὰ παραλληλεπίπεδα ἐν τριπλα-

BIBLIOTHECA BODLEIANA

EUCLID *Elementa* BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo